# 0295-0373 - Athanasius Alexandrinus - Magnus - De sabbatis et circumcisione

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.**
**On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.**
**Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,**
**serial number '2035 068 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De sabbatis et circumcisione

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΠΕΡΙ ΣΑΒΒΑΤΩΝ ΚΑΙ ΠΕΡΙΤΟΜΗΣ, ΕΚ ΤΗΣ ΕΞΟΔΟΥ.

[00002] «Καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ Σάββατα, ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν.

[00003] Διαθήκη αἰώνιος ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ, σημεῖόν ἐστιν ἐν ἐμοὶ αἰώνιον, ὅτι ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ κατέ παυσε.».

[00004] Σημεῖόν ἐστι τοῦ εἰδέναι τὴν τῆς κτίσεως ἡμέραν, καὶ τὸ ταύτης τέλος.

[00005] Ἀκόλουθον ἦν ἕως τὰ τῆς κτίσεως ἐνεργεῖτο, ἐπὶ τῆς Ἱερουσαλὴμ ἕως τότε φυλάττειν τὰ Σάββατα.

[00006] Ἐλθούσης δὲ τῆς ἑτέρας γενεᾶς καὶ τοῦ κτιζομένου λαοῦ, κατὰ τὸ λεγόμενον·

[00007] «Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον·» ἀνάγκη μηκέτι τὸν λαὸν τοῦτον τηρεῖν τὸ τῆς προτέρας κτίσεως τέλος, ἀλλὰ τὴν ἀρχὴν τῆς δευτέρας κτίσεως ζητεῖν.

[00008] Τίς δέ ἐστιν, ἢ καθ' ἣν ἀνέστη ὁ Κύριος;

[00009] Ἔκτοτε γὰρ ἀρ χὴν ἔσχεν ἡ καινὴ κτίσις, περὶ ἧς εἶπεν ὁ Παῦ λος·

[00010] «Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.».

[00011] Τὴν μὲν οὖν προτέραν κτίσιν ποιῶν ὁ Θεὸς κατέπαυσε·

[00012] διὰ τοῦτο καὶ τὸ Σάββατον ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐτήρουν οἱ τῆς γενεᾶς ἐκείνης·

[00013] ἡ δὲ δευτέρα κτίσις τέλος οὐκ ἔχει·

[00014] διὰ τοῦτο οὐδὲ κατέπαυσεν, ἀλλ' ἕως ἄρτι ἐργάζεται.

[00015] Ὅθεν οὐδὲ σαββατίζομεν ἡμέραν ὡς ἐπὶ τῇ πρώτῃ, ἀλλὰ τὰ μέλλοντα ἐλπίζομεν Σάββατα σαββάτων, ἃ οὐ τέλος λαμβάνει ἡ καινὴ κτίσις, ἀλλὰ φανεροῦται καὶ διόλου ἑορτάζει.

[00016] Διὰ γὰρ τοῦτο ἐδόθη τὸ Σάββατον τῷ προτέρῳ λαῷ, ἵνα γινώσκῃ καὶ τὸ τέλος καὶ τὴν ἀρχὴν τῆς κτίσεως.

[00017] Τῇ δὲ καινῇ κτίσει οὐκ ἐνετείλατο φυλάττειν Σάββατον·

[00018] ἵνα τὴν μὲν ἀρχὴν ἐν τῇ Κυριακῇ γινώσκῃ, ἀτελεύτητον δὲ ἐπίσταται τὴν ταύτης χάριν.

[00019] Διὰ τοῦτο δὲ καὶ τὴν ἀρχὴν, τουτέστι τὴν Κυριακὴν ἐδήλωσεν, ἵνα τὸ τέλος τῆς παρελθούσης γινώσκῃς.

[00020] Ὁ γοῦν Ἀπόστολος περὶ τῆς προτέρας γράφων φησίν·

[00021] «Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ·» καὶ πάλιν·

[00022] «Ἐπὶ συντελείᾳ τῶν αἰώνων.».

[00023] Οὐκοῦν ἡ μὲν πρώτη πεπλήρωται καὶ τετελείωται, οὐκ ἄλλοτε ἢ ὡς οἱ [28.136] προφῆται ἔλεγον·

[00024] «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκ χεῶ ἀπὸ τοῦ Πνεύματός μου.».

[00025] Τέλος δὲ ἐχουσῶν τῶν πρώτων ἡμερῶν, ἄλλαι γίνονται, ὡς ὁ Ἱερεμίας φησίν·

[00026] «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος.».

[00027] Τέλος δὲ ἐχούσης τῆς πρώτης, ἀκολούθως ἑτέρας ἀρχὴ γέγονε·

[00028] διὰ τοῦτο μετὰ τὸ Σάββατον ἀνέστη ὁ Κύ ριος·

[00029] οὐ γὰρ προηγουμένως εἵνεκεν τοῦ ἀργεῖν τοὺς ἀνθρώπους ἐδίδου τὸ Σάββατον ὁ Θεὸς ὁ λέγων·

[00030] «Ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις,» καὶ ὁ προστάττων ἐν τοῖς Ἀριθμοῖς·

[00031] «Καὶ τῇ ἡμέρᾳ τῶν Σαββά των προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους, καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδὴν, καὶ ὁλοκαύτωμα Σαββάτων ἐν τοῖς Σαββάτοις ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός.».

[00032] Καὶ πάλιν πρὸ ὀλίγων λέγει ἐν τοῖς ἀνωτέρω·

[00033] «Καὶ ἐπιθήσετε ἐπὶ τὸ θῦμα λίβανον καθαρὸν καὶ ἅλας, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν, προκείμενα τῷ Κυρίῳ.

[00034] Τῇ ἡμέρᾳ τῶν Σαββάτων προτεθήσεται ἔναντι Κυρίου διαπαντὸς ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, διαθήκην αἰώνιον.».

[00035] Εἰ γὰρ ἔμελλεν αὐτῷ περὶ ἀργίας, οὐκ ἂν προτιθέναι, καὶ προσάγειν, καὶ σφάζειν, ἐκέλευε τοὺς Λευΐτας.

[00036] Εἰ γὰρ ἡ ἀργία ἁγιάζει, δηλονότι ἡ ἐργασία μολύνει·

[00037] ἀλλ' οἱ Λευῖται ἐργαζόμενοι οὐ μολύνονται·

[00038] οὐκ ἄρα ἡ ἀργία κα θαρίζει.

[00039] Ἢ διὰ τί μόνοι οἱ Λευῖται τοῦ ἁγιασμοῦ στερίσκονται, προσάγοντες, καὶ σφάζοντες, καὶ προτιθέντες ἐν τῷ Σαββάτῳ;

[00040] Τοσούτῳ γὰρ ἀπέχονται τοῦ πλημμελεῖν, ὅσῳ καὶ ἱλάσκονται, ὑπὲρ τῶν προσφερόντων.

[00041] Οὐκοῦν οὐκ ἀργίαν σημαίνει τὸ Σάββατον, ἀλλὰ γνῶσιν μὲν τοῦ Ποιητοῦ, παῦλαν δὲ τοῦ σχήματος τῆς κτίσεως ταύτης, ὡς καὶ ἐν τῷ Ἰεζεχιὴλ διαμαρ τύρεται λέγων ὁ Θεός·

[00042] «Καὶ τὰ Σάββατά μου ἔδωκα αὐτοῖς τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον αὐτῶν τοῦ γνῶναι αὐτοὺς, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.».

[00043] Γνώσεως ἄρα καὶ οὐκ ἀργίας ἕνεκεν ἐδόθη τὸ Σάββατον·

[00044] ὡς εἶναι μᾶλλον τὴν γνῶσιν ἀναγκαιοτέραν τῆς ἀργίας.

[00045] Διὰ τοῦτο ὁ Κύριος ἔλεγε τοῖς αἰτιωμένοις τοὺς μαθητὰς ἐπὶ τῷ τίλλειν στάχυας·

[00046] «Εἰ ἐγνώκειτε τί ἐστιν, Ἔλεον θέλω καὶ οὐ θυσίαν.».

[00047] Ἀργοῦντας γὰρ αὐτοὺς ἐν τῷ Σαββάτῳ ᾐτιᾶτο, ὅτι τὸ ἴδιον τοῦ Σαββάτου οὐκ ἔχετε, ὅπερ ἐστὶν ἡ πρὸς τὴν ἀλήθειαν γνῶσις.

[00048] Διὰ τοῦτο καὶ περὶ τὴν Ἰεριχὼ κελεύονται σαλπίζειν οἱ τὸν νόμον τοῦ Σαββάτου λαβόντες ἑπτὰ ἡμέραις, ἐν αἷς [28.137] ἑπτὰ καὶ τὸ Σάββατον ἐμπίπτει.

[00049] Εἰ τοίνυν ἕνεκα τοῦ ἀργεῖν ἐδόθη τὸ Σάββατον, διὰ τί ἐργάζεσθαι προστάττονται σαλπίζοντες;

[00050] Ἀλλ' ἠπίστατο, ὅτι σαλπί ζοντες ἐσαββάτιζον, οὐκ ἀργοῦντες, ἀλλὰ γινώσκον τες τὸν βοηθοῦντα αὐτοῖς Κύριον·

[00051] ὥσπερ καὶ ἐπὶ τοῦ περιτεμνομένου ὀκταημέρου·

[00052] ἀνάγκην γὰρ ἔχει καὶ τῷ Σαββάτῳ περιτέμνειν, καὶ ὅμως σαββα τίζει, ἐργαζόμενος μὲν, γινώσκων δὲ τὸν Θεόν.

[00053] Ἀμέ λει καὶ τὰς μὴ ἡμέρας τῶν Σαββάτων, ὅμως διὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τὴν τῆς θεογνωσίας χάριν, Σάββατα ὀνομάζειν εἴωθεν ὁ νόμος, μᾶλλον δὲ ὁ Κύριος τοῦ νόμου, ὡς ἐν τῷ Λευϊτικῷ·

[00054] καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων·

[00055] «Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἡμέρα ἐξιλασμοῦ κλητὴ ἁγία ἔσται ὑμῖν·

[00056] καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ.

[00057] Πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ·» καὶ μετ' ὀλίγα·

[00058] «Καὶ ἔσται πᾶσα ψυχὴ, ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

[00059] Πᾶν ἔργον οὐ ποιήσετε, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

[00060] Σάββατα σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν ἀπὸ ἐνάτης τοῦ μηνὸς, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας, καὶ σαββατιεῖτε τὰ Σάββατα ὑμῶν.».

[00061] Οὐκοῦν οὐχ ἡ ἑβδόμη ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ὅτε τις ἀπ' αὐτῶν κατα παύει.

[00062] Οὐδὲ ἡ ἀργία ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἐξ ομολόγησις καὶ τὸ ταπεινοῦν τὴν ψυχήν.

[00063] Οὐ γὰρ ὡρισμένως, τῷ Σαββάτῳ, εἴρηκεν, ἀλλ' ἁπλῶς τῇ δεκάτῃ, ἣν συμβαίνει ἀπαντᾷν μὴ ἐν Σαββάτῳ.

[00064] Καὶ ὅμως τὴν ἀπαντῶσαν ἡμέραν διὰ τὸν ἐξιλασμὸν Σάβ βατον οὐχ ἁπλῶς, ἀλλὰ Σάββατα σαββάτων ὀνομά ζει.

[00065] Εἰ δὲ ταύτην Σάββατον ὀνομάζει, ἐν δὲ Σαββάτῳ ἐργάζεσθαι κελεύει·

[00066] οὐκ ἄρα ἀργίας προηγουμένως ἐστὶ νόμος τὸ Σάββατον, ἀλλὰ γνώσεως καὶ ἐξ ιλασμοῦ, καὶ ἀργίας ἀπὸ κακίας πάσης.

[00067] Οὐ διὰ τὴν ἀργίαν οὖν τὸ Σάββατον δέδωκεν, ἀλλὰ πρὸς τὸ γινώσκειν αὐτοὺς τὴν κατάπαυσιν τῆς κτίσεως.

[00068] Ἐν ετείλατο γὰρ ὁ Θεὸς λέγων·

[00069] «Ἵνα γινώσκητε, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ κατέπαυσε Κύριος ὁ Θεὸς ὑμῶν ἀπὸ τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι.».

[00070] Ἤθελε δὲ αὐ τοὺς γινώσκοντας τὸ τέλος ταύτης ἀρχὴν ζητεῖν ἑτέ ρας.

[00071] Τέλος μὲν οὖν τῆς προτέρας κτίσεως ἦν τὸ Σάββατον, ἀρχὴ δὲ τῆς δευτέρας, ἡ Κυριακὴ, ἐν ᾗ τὴν παλαιὰν ἀνενεώσατο καὶ ἀνεκαίνισεν.

[00072] Ὥσπερ οὖν ἐνετείλατο φυλάττειν πρότερον τοῦ Σαββάτου τὴν ἡμέραν, μνήμην οὖσαν τοῦ τέλους τῶν προτέρων, [28.140] οὕτως τὴν Κυριακὴν τιμῶμεν, μνήμην οὖσαν ἀρχῆς δευτέρας ἀνακτίσεως.

[00073] Οὐ γὰρ ἄλλην ἐπέκτισεν, ἀλλὰ τὴν παλαιὰν ἀνεκαίνισε, καὶ ἣν ἤρξατο ποιεῖν ἐτε λείωσε.

[00074] Διὰ τοῦτο ἐν μὲν τῇ ἕκτῃ τὰ γενόμενα συνετελέσθη, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάν των·

[00075] ἐν δὲ τῷ Εὐαγγελίῳ ἐλθὼν ὁ Λόγος φησίν·

[00076] «Ἦλθον τελειῶσαι τὸ ἔργον.».

[00077] Ὁ γὰρ ἀπὸ πάντων καταπαύων, σημαίνει τινὰ δεῖσθαι τέλους, ἅπερ ἐλθὼν ἐπετελείωσε.

[00078] Φησὶ γὰρ ἐν τῷ κατὰ Ἰωάννην·

[00079] «Τὰ ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτά·

[00080] αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ.».

[00081] Ἀτελὲς μὲν γὰρ ἦν τὸ ἔργον, εἰ, ἁμαρτήσαν τος τοῦ Ἀδὰμ, ἀπέθνησκεν ὁ ἄνθρωπος·

[00082] τέλειον δὲ γέγονε, ζωοποιηθέντος αὐτοῦ.

[00083] Διὰ τοῦτο, τὴν ἐν ἓξ ἡμέραις κτίσιν ἀνακαινίσας, ἡμέραν τίθησι τῇ ἀνακαινίσει, ἣν διὰ τοῦ ψαλμοῦ προαναφωνεῖ λέγον τὸ Πνεῦμα·

[00084] «Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.».

[00085] Ἀνθ' ἡλίου γὰρ Θεὸς ἀνατέλλει, καταυγάζων τῇ ἑκάστου ψυχῇ·

[00086] διὰ τοῦτο καὶ ἐν αὐτῷ τῷ σωτη ρίῳ πάθει οὐκ ἔφανεν ἥλιος, σημαίνων τέλος μὲν τῆς προτέρας κτίσεως, ἀρχὴν δὲ ἑτέρας, τὴν ἐκ τοῦ Σωτῆρος ἀνατέλλουσαν·

[00087] ἣν ἑωρακὼς ὁ προφήτης φησίν·

[00088] «Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ·» καὶ πάλιν·

[00089] «Ὑμῖν δὲ τοῖς φοβουμένοις αὐτὸν ἀνατελεῖ ἥλιος δικαιοσύνης.».

[00090] Οὐ γὰρ πάντων ἡμέρα αὕτη, ἀλλὰ τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ, ζώντων δὲ τῷ Κυρίῳ.

[00091] Διὰ τοῦτο γὰρ καὶ τῇ ὀγδόῃ ἡμέρᾳ περιτέ μνεσθαι ἐκέλευσεν ὁ νόμος·

[00092] καὶ ἀπαράβατος ἦν ἡ ἐντολὴ, σημαίνουσα τὴν μετὰ τὴν ἑβδόμην ἀναγέννησιν πάντων.

[00093] Ἡ γὰρ περιτομὴ οὐδὲν ἄλλο ἐδήλου ἢ τὴν τῆς γενέσεως ἀπέκδυσιν·

[00094] τὸν γὰρ τῇ ἕκτῃ ἀποθανόντα ἀπεκδιδυσκόμεθα, καὶ ἀνακαινούμεθα τῇ Κυριακῇ, ὅτε ὁ παλαιὸς, ἀπεκδυθεὶς, ἀνεγεννήθη τῇ ἀναστάσει.

[00095] Τοῦτο γὰρ καὶ ὁ Παῦλός φησιν ἐν τῇ πρὸς Κολοσσαεῖς·

[00096] «Ἐν ᾧ καὶ περιετμήθητε πε ριτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι εἰς τὸν ᾅδην, ἐν ᾧ καὶ συνηγέρθητε.».

[00097] Τῆς γὰρ διὰ τοῦ βαπτίσματος ἀπεκδύσεως τύπος ἦν ἡ περιτομή·

[00098] ἣν ἐν ἐκείνοις τοῖς μέλεσιν ἐνετείλατο γίνεσθαι, δι' ὧν καὶ γεννᾶται τὸ σῶμα, ἵν' εἰδοῖεν οἱ περιτεμνόμενοι, ὅτι ἀπεκδύσεως παλαιότητός ἐστι σημεῖον.

[00099] Πιστεύσας γὰρ Ἀβραὰμ ἔλαβε τὴν περιτομὴν, σημεῖον οὖσαν τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως.

[00100] Διὰ τοῦτο ἐλθόντος τοῦ σημαινομένου, πέπαυται τὸ σημεῖον.

[00101] Ἡ μὲν γὰρ περιτομὴ σημεῖον ἦν, τὸ δέ γε λουτρὸν τῆς [28.141] παλιγγενεσίας τὸ σημαινόμενον.

[00102] Ὅλου γὰρ τοῦ πα λαιοῦ ἀπεκδιδυσκομένου, περιττὴ ἡ διὰ τοῦ μέρους σημασία.

[00103] Καὶ ὥσπερ ἡ Κυριακὴ ἀρχὴ τῆς κτίσεώς ἐστι, καὶ παύει τὸ Σάββατον·

[00104] οὕτως ἡ αὐτὴ ἀναγεν νήσασα τὸν ἄνθρωπον ἔπαυσε τὴν περιτομήν.

[00105] Ἀμ φότερα γὰρ ἐν τῇ ὀγδόῃ κατώρθωται, καὶ ἡ ἀρχὴ τῆς κτίσεως, καὶ ἡ ἀναγέννησις τοῦ ἀνθρώπου.

[00106] Διὰ τοῦτο ἡ ὀγδόη τὸ Σάββατον ἔλυσε, καὶ οὐ τὸ Σάββα τον τὴν ὀγδόην.

[00107] Ἐν μὲν γὰρ Σαββάτῳ περιετέμνετο ὁ ἄνθρωπος·

[00108] ἐν δὲ τῷ Σαββάτῳ οὐκ ἤργει ἡ πε ριτομή.

[00109] Ἡ γὰρ ὀγδόη, ἀρχὴ οὖσα τῆς ἀνακτίσεως,κατέπαυσε τὴν πρώτην.

[00110] Ἡγοῦμαι δὲ καὶ διὰ τοῦτο τὴν περιτομὴν δεδόσθαι.

[00111] Τοῦ γὰρ Ἀδὰμ ἀκούσαντος·

[00112] «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ,» ἔθνησκε, καὶ διεφθείρετο τὸ σῶμα·

[00113] ὅθεν μέρος τι τοῦ σώματος, καὶ τοῦτο τὸ αἴτιον τῆς τοῦ σώματος γενέσεως προσετάχθησαν ἐκτιννύειν, προδιδασκόμενοι τὴν τοῦ ὅλου ἀπέκδυσιν, ἵν', ὥσπερ ἀποδιδόντες τὸ κατακριθὲν, διασωθῆναι δυνηθῶσι.

[00114] Καὶ ὥσπερ αἱ θυσίαι σκιαὶ ἦσαν τῶν μελλόντων, οὕτως καὶ ἡ ἐκ μέρους περιτομὴ τοῦ ὅλου ἦν σκιά.

[00115] Τοῦτο δὲ καὶ ἐν τῷ Ἰησοῦ τῷ τοῦ Ναυῆ φανερῶς ὁ λόγος σημαίνει·

[00116] τοῦ γὰρ Ἰησοῦ κατὰ πρόσταξιν τοῦ Θεοῦ περιτέμνοντος τὸν λαὸν ἐν Γαλγάλοις πέραν τοῦ Ἰορδάνου, εἶπε Κύριος τῷ Ἰησοῦ υἱῷ Ναυῆ·

[00117] «Ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν.

[00118] Καὶ ἐκάλεσα, φησὶν, ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα.».

[00119] Εἰ γὰρ ἡ περιτομὴ ἀφαίρεσίς ἐστι τῆς ἐν Αἰγύπτῳ γενέσεως, δηλονότι ἡ ἀκροβυστία, Αἰγυπτιακῆς σχέσεως καὶ γενέσεως γνώρισμά ἐστι.

[00120] Τοῦτο δὲ ἀφεῖλεν ὁ Θεὸς, ἵνα μηκέτι ὡς ἐν Αἰγύπτῳ γεννηθέντες ὦσιν, ἀλλὰ τῆς ἐπαγγελίας, εἰς ἣν εἰσῆξεν αὐτοὺς ὁ Κύριος, τέκνα λογίζωνται.

[00121] Τούτων δὲ οὕτως ὄντων, φαίνεται καθόλου ἡ περιτομὴ δοθεῖσα, ἵν' ἀφαιρεθῇ ὁ ὀνειδισμὸς τῆς γηΐνης γενέσεως ἀπὸ τῶν Ἀβραμιαίων, καὶ μηκέτι ὑπεύθυνοι ὦμεν τῷ·

[00122] «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.».

[00123] Ἀφῃρέθη γὰρ ὁ ὀνειδισμὸς τοῦ παραπτώματος.

[00124] Τοῦτο δὲ ἐγένετο τότε εἰς τύπον τοῦ διὰ Χριστοῦ βαπτίσματος.

[00125] Τότε γὰρ ἐκ μέρους ἐγένετο, ὡς ἐν σκιᾷ, νῦν δὲ, ὥσπερ εἶπεν ὁ Ἀπόστολος, ὅλην τὴν γηΐνην γένεσιν ἀπεκδιδυσκόμεθα, διὰ τοῦ λουτροῦ ἀναγεννώμενοι, ἵνα μηκέτι κατὰ τὴν πρώτην γένεσιν ἀποθνήσκωμεν, ἀλλὰ κατὰ τὴν περιτομὴν τῆς ἀπεκδύσεως τοῦ σώματος, ἣν διὰ τοῦ λουτροῦ ἀπεκδιδυσκόμεθα, ζήσωμεν.

[00126] Ὥσπερ δὲ εἶπεν ὁ Κύριος τῷ Ἰησοῦ·

[00127] «Ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἐν τῇ σήμερον ἡμέρᾳ ἀφ' ὑμῶν·» οὕτως πολλῷ πλέον λεχθείη ἂν ἑκάστῳ τῶν νῦν βαπτιζομένων·

[00128] Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀφεῖλον τὸν ὀνειδισμὸν τῆς γηΐνης γενέσεως, καὶ τὸν ὀνειδισμὸν τῆς τοῦ θανάτου φθορᾶς ἀπὸ σοῦ, ἐν τῇ σήμερον ἡμέρᾳ.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 563 | Α | 0913 | 14 |
| β | 0946 | 122 | Β | 0914 | 2 |
| γ | 0947 | 168 | Γ | 0915 | 7 |
| δ | 0948 | 136 | Δ | 0916 | 0 |
| ε | 0949 | 459 | Ε | 0917 | 12 |
| ζ | 0950 | 32 | Ζ | 0918 | 0 |
| η | 0951 | 120 | Η | 0919 | 3 |
| θ | 0952 | 80 | Θ | 0920 | 11 |
| ι | 0953 | 362 | Ι | 0921 | 6 |
| κ | 0954 | 236 | Κ | 0922 | 39 |
| λ | 0955 | 220 | Λ | 0923 | 5 |
| μ | 0956 | 236 | Μ | 0924 | 3 |
| ν | 0957 | 728 | Ν | 0925 | 6 |
| ξ | 0958 | 14 | Ξ | 0926 | 1 |
| ο | 0959 | 530 | Ο | 0927 | 15 |
| π | 0960 | 219 | Π | 0928 | 12 |
| ϱ | 0961 | 310 | Ρ | 0929 | 3 |
| ς | 0962 | 319 | • | 0930 | 0 |
| σ | 0963 | 293 | Σ | 0931 | 51 |
| τ | 0964 | 778 | Τ | 0932 | 22 |
| υ | 0965 | 126 | ϒ | 0933 | 4 |
| φ | 0966 | 38 | Φ | 0934 | 1 |
| χ | 0967 | 42 | Χ | 0935 | 3 |
| ψ | 0968 | 7 | Ψ | 0936 | 0 |
| ω | 0969 | 112 | Ω | 0937 | 2 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 0 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 110 | έ | 8051 | 152 | ή | 8053 | 33 | ί | 8055 | 116 | ό | 8057 | 67 | ύ | 8059 | 63 | ώ | 8061 | 42 |
| ὰ | 8048 | 110 | ὲ | 8050 | 46 | ὴ | 80852 | 80 | ὶ | 8054 | 105 | ὸ | 8056 | 94 | ὺ | 8058 | 11 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 51 | ῖ | 8150 | 45 | | | 0 | ῦ | 8166 | 108 | ῶ | 8182 | 47 |
| ἀ | 7936 | 125 | ἐ | 7952 | 127 | ἠ | 7968 | 1 | ἰ | 7984 | 34 | ὀ | 8000 | 17 | ὐ | 8016 | 59 | ὠ | 8032 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἁ | 7937 | 9 | ἑ | 7953 | 18 | ἡ | 7969 | 55 | ἱ | 7985 | 14 | ὁ | 8001 | 36 | ὑ | 8017 | 11 | ὡ | 8033 | 9 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 3 | ἓ | 7955 | 2 | ἣ | 7971 | 9 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 14 | ἔ | 7956 | 27 | ἤ | 7972 | 3 | ἴ | 7988 | 5 | ὄ | 8004 | 3 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 8 | ἥ | 7973 | 3 | ἵ | 7989 | 10 | ὅ | 8005 | 17 | ὕ | 8021 | 8 | ὥ | 8037 | 5 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 9 | ἶ | 7990 | 8 | | | 0 | ὖ | 8022 | 8 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 2 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 1 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 1 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 14 | | | 0 | ῃ | 8131 | 20 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 21 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 39 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 30 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - De sabbatis et circumcisione**
**Verborum Omnium Conspectus: 761Verba, quae repetita sunt in 3,614,447 occasionibus**

---

**ἃ** [00015] [00079] [00080]
**Ἀβραὰμ** [00099]
**Ἀβραμιαίων** [00121]
**ἁγία** [00055]
**ἁγιάζει** [00036]
**ἁγιάζων** [00042]
**ἁγιασμοῦ** [00039]
**ΑΓΙΟΙΣ** [00001]
**Ἀδὰμ** [00081] [00111]
**ᾅδην** [00096]
**ἀεργῶν** [00030]
**ΑΘΑΝΑΣΙΟΥ** [00001]
**αἱ** [00114]
**Αἰγυπτιακῆς** [00119]
**Αἰγύπτου** [00117] [00127]
**Αἰγύπτῳ** [00119] [00120]
**αἰνέσει** [00007]
**αἷς** [00048]
**αἴτιον** [00113]
**αἰτιωμένοις** [00045]
**αἰώνιον** [00003] [00034] [00059]
**αἰώνιος** [00003]
**αἰώνων** [00022]
**ἀκάνθαις** [00030]
**Ἀκόλουθον** [00005]
**ἀκολούθως** [00027]
**ἀκούσαντος** [00111]
**ἀκροβυστία** [00119]
**ἅλας** [00033]
**ἀλήθειαν** [00047]
**ἀλλ** [00014] [00037] [00061] [00062] [00063]

**Ἀλλ** [00050]
**ἀλλὰ** [00007] [00015] [00015] [00041] [00050] [00064] [00066] [00067] [00073] [00090] [00120] [00125]
**ἄλλαι** [00025]
**ἄλλην** [00073]
**ἄλλο** [00093]
**ἄλλοτε** [00023]
**Ἀμ** [00105]
**ἁμαρτήσαν** [00081]
**ἁμαρτίᾳ** [00090]
**ἁμαρτιῶν** [00053] [00061]
**Ἀμέ** [00053]
**ἀμνοὺς** [00031]
**ἀμώμους** [00031]
**ἂν** [00035] [00127]
**ἀνὰ** [00042] [00042]
**ἀναγεν** [00104]
**ἀναγεννήσεως** [00099]
**ἀναγέννησιν** [00092]
**ἀναγέννησις** [00105]
**ἀναγεννώμενοι** [00125]
**ἀναγκαιοτέραν** [00044]
**ἀνάγκη** [00007]
**ἀνάγκην** [00052]
**ἀνακαινίσας** [00083]
**ἀνακαινίσει** [00083]
**ἀνακαινούμεθα** [00094]
**ἀνακτίσεως** [00072] [00109]
**ἀνάμνησιν** [00033]
**ἀναπεποιημένης** [00031]
**ἀναστάσει** [00094]
**ἀνατελεῖ** [00089]
**ἀνατέλλει** [00085]
**ἀνατέλλουσαν** [00086]
**Ἀνατολὴ** [00088]
**ἀνεγεννήθη** [00094]
**ἀνεκαίνισε** [00073]
**ἀνεκαίνισεν** [00071]
**ἀνενεώσατο** [00071]
**ἀνέστη** [00008] [00028]
**ἀνὴρ** [00088]
**Ἀνθ** [00085]
**ἄνθρωπον** [00104]
**ἄνθρωπος** [00081] [00107]
**ἀνθρώπου** [00105]
**ἀνθρώπους** [00029]
**ἀνωτέρω** [00032]
**ἀπ** [00061]
**ἀπαντᾷν** [00063]
**ἀπαντῶσαν** [00064]
**ἀπαράβατος** [00092]
**ἀπέθνησκεν** [00081]
**ἀπεκδιδυσκόμεθα** [00094] [00125] [00125]
**ἀπεκδιδυσκομένου** [00102]
**ἀπεκδυθεὶς** [00094]
**ἀπεκδύσει** [00096]
**ἀπεκδύσεως** [00097] [00098] [00125]
**ἀπέκδυσιν** [00093] [00113]
**ἀπελεύσῃ** [00112] [00122]
**ἅπερ** [00077]
**ἀπέχονται** [00040]
**ἀπλῶς** [00064]
**ἁπλῶς** [00063]
**ἀποδιδόντες** [00113]
**ἀποθανόντα** [00094]
**ἀποθανόντων** [00090]
**ἀποθνήσκωμεν** [00125]
**ἀπολεῖται** [00058]
**Ἀπόστολος** [00020] [00125]
**ἀρ** [00009]
**ἄρα** [00038] [00043] [00066]
**ἀργεῖν** [00029] [00049]
**ἀργία** [00036] [00038] [00062]
**ἀργίαν** [00041] [00067]
**ἀργίας** [00035] [00043] [00044] [00066] [00066]
**Ἀργοῦντας** [00047]
**ἀργοῦντες** [00050]
**Ἀριθμοῖς** [00030]
**ἄρτι** [00014]
**ἄρτους** [00033]
**ἀρχὴ** [00027] [00071] [00103] [00105] [00109]
**ἀρχὴν** [00007] [00016] [00018] [00019] [00070] [00086]
**ἀρχῆς** [00072]
**Ἀτελὲς** [00081]
**ἀτελεύτητον** [00018]
**αὐ** [00070]
**αὐτὰ** [00002] [00080]
**αὐτά** [00079]
**Αὕτη** [00084]
**αὐτὴ** [00104]
**αὐτῇ** [00057] [00058]
**αὕτη** [00007] [00090]
**αὐτῆς** [00058]
**αὐτοῖς** [00042] [00050]
**αὐτὸν** [00089]
**αὐτοῦ** [00021] [00082]
**αὐτοὺς** [00042] [00047] [00067] [00120]
**αὐτούς** [00042]
**αὐτῷ** [00035] [00086] [00088] [00096]
**αὐτῶν** [00002] [00042] [00061]
**ἀφ** [00117] [00127]
**ἀφαιρεθῇ** [00121]
**ἀφαίρεσίς** [00119]
**ἀφεῖλεν** [00120]
**ἀφεῖλον** [00117] [00128]
**Ἀφεῖλον** [00127]
**ἄφεσιν** [00053]
**ἄφεσις** [00061]
**Ἀφῃρέθη** [00123]
**ἀχειροποιήτῳ** [00096]

**βαπτιζομένων** [00127]
**βαπτίσματι** [00096]
**βαπτίσματος** [00097] [00099] [00124]
**βατον** [00064]

**βοηθοῦντα** [00050]

**Γάλγαλα** [00118]
**Γαλγάλοις** [00116]
**γὰρ** [00009] [00016] [00029] [00035] [00036] [00040] [00047] [00052] [00063] [00068] [00073] [00077] [00078] [00081] [00085] [00090] [00091] [00093] [00094] [00095] [00097] [00099] [00101] [00102] [00105] [00107] [00109] [00111] [00116] [00119] [00123] [00125]
**γε** [00101]
**γέγονε** [00027] [00082]
**γενεὰν** [00007]
**γενεὰς** [00002] [00059]
**γενεᾶς** [00006] [00012]
**γενέσεως** [00093] [00113] [00119] [00119] [00121] [00128]
**γένεσιν** [00125] [00125]
**γεννᾶται** [00098]
**γεννηθέντες** [00120]
**γενόμενα** [00074]
**Γῆ** [00112] [00122]
**γηΐνην** [00125]
**γηΐνης** [00121] [00128]
**γῆν** [00003] [00112] [00122]
**γίνεσθαι** [00098]
**γίνονται** [00025]
**γινώσκειν** [00067]
**γινώσκῃ** [00016] [00018]
**γινώσκῃς** [00019]
**γινώσκητε** [00069]
**γινώσκον** [00050]
**γινώσκοντας** [00070]
**γινώσκων** [00052]
**γνῶναι** [00042]
**γνώρισμά** [00119]
**Γνώσεως** [00043]
**γνώσεως** [00066]
**γνῶσιν** [00041] [00044]
**γνῶσις** [00047]
**γοῦν** [00020]
**Γραφήτω** [00007]
**γράφων** [00020]

**δὲ** [00006] [00013] [00017] [00018] [00019] [00021] [00025] [00027] [00041] [00052] [00053] [00065] [00065] [00070] [00071] [00075] [00082] [00086] [00089] [00090] [00108] [00110] [00115] [00120] [00121] [00124] [00125] [00126]
**δέ** [00008] [00101]
**δεδόσθαι** [00110]
**δέδωκέ** [00079]
**δέδωκεν** [00067]
**δεῖσθαι** [00077]
**δέκατα** [00031]
**δεκάτῃ** [00055] [00063]
**δευτέρα** [00013]
**δευτέρας** [00007] [00071] [00072]
**δηλονότι** [00036] [00119]
**δι** [00098]
**Διὰ** [00016] [00019] [00045] [00048] [00074] [00083] [00091] [00100] [00106]
**διὰ** [00012] [00014] [00028] [00031] [00039] [00049] [00053] [00064] [00067] [00083] [00086] [00097] [00099] [00102] [00110] [00124] [00125] [00125]
**Διαθήκη** [00003]
**διαθήκην** [00034]
**διαμαρ** [00041]
**διαπαντὸς** [00034]
**διασωθῆναι** [00113]
**διεφθείρετο** [00112]
**δικαιοσύνης** [00089]
**διόλου** [00015]
**δοθεῖσα** [00121]
**δυνηθῶσι** [00113]
**δύο** [00031] [00031]

**ἑβδόμῃ** [00003] [00012] [00074]
**ἑβδόμη** [00061]
**ἑβδόμην** [00092]
**ἑβδόμου** [00055]
**ἐγένετο** [00124] [00125]
**ἐγνώκειτε** [00046]
**ἐγὼ** [00042] [00080]
**ἐδήλου** [00093]
**ἐδήλωσεν** [00019]
**ἐδίδου** [00029]
**ἐδόθη** [00016] [00043] [00049]
**ἔδωκα** [00042]
**ἔθνησκε** [00112]
**Εἰ** [00035] [00036] [00046] [00049] [00065] [00119]
**εἰ** [00081]
**εἴ** [00010]
**εἶ** [00112] [00122]
**εἰδέναι** [00004]
**εἰδοῖεν** [00098]
**εἶναι** [00042] [00044]
**εἵνεκεν** [00029]
**εἶπε** [00116]
**εἶπεν** [00009] [00125] [00126]
**εἴρηκεν** [00063]
**εἰς** [00002] [00007] [00031] [00033] [00033] [00042] [00059] [00096] [00112] [00120] [00122] [00124]
**εἰσῆξεν** [00120]
**εἴωθεν** [00053]
**ἐκ** [00024] [00058] [00086] [00114] [00125]
**EK** [00001]
**ἐκάλεσα** [00118]
**ἑκάστου** [00085]
**ἑκάστῳ** [00127]
**ἐκείνη** [00058]
**ἐκείνης** [00012]
**ἐκείνοις** [00098]
**ἐκείνου** [00118]
**ἐκέλευε** [00035]
**ἐκέλευσεν** [00091]
**ἕκτη** [00074] [00094]
**ἐκτιννύειν** [00113]
**Ἔκτοτε** [00009]
**ἔλαβε** [00099]
**ἐλαίῳ** [00031]
**ἐλάλησε** [00054]

**ἔλεγε** [00045]
**ἔλεγον** [00023]
**Ἔλεον** [00046]
**ἐλθόντος** [00100]
**Ἐλθούσης** [00006]
**ἐλθὼν** [00075] [00077]
**ἐλπίζομεν** [00015]
**ἔλυσε** [00106]
**ἔμελλεν** [00035]
**ἐμοὶ** [00003] [00003]
**ἐμοῦ** [00042] [00080]
**ἐμπίπτει** [00048]
**ἐν** [00003] [00003] [00010] [00012] [00018] [00030] [00031] [00031] [00032] [00039] [00041] [00047] [00048] [00053] [00057] [00058] [00063] [00065] [00069] [00071] [00074] [00075] [00078] [00083] [00086] [00095] [00096] [00096] [00096] [00096] [00098] [00105] [00108] [00115] [00116] [00119] [00120] [00125] [00127] [00128]
**Ἐν** [00024] [00068] [00096] [00107] [00117] [00128]
**ΕΝ** [00001]
**ἔναντι** [00034]
**ἐνάτης** [00060]
**ἕνεκα** [00049]
**ἕνεκεν** [00043]
**ἐνεργεῖτο** [00005]
**ἐνετείλατο** [00017] [00072] [00098]
**ἐνιαυσίους** [00031]
**ἐντολὴ** [00092]
**ἐνώπιον** [00034]
**ἐξ** [00062] [00066]
**ἐ̂ξ** [00003] [00083]
**ἐξαπέστειλεν** [00021]
**ἐξιλασμὸν** [00064]
**ἐξιλασμοῦ** [00055]
**ΕΞΟΔΟΥ** [00001]
**ἑορτάζει** [00015]
**ἐπαγγελίας** [00120]
**ἔπαυσε** [00104]
**ἐπέκτισεν** [00073]
**ἐπετελείωσε** [00077]
**ἐπὶ** [00005] [00015] [00031] [00033] [00045] [00051]
**Ἐπὶ** [00022]
**ἐπιθήσετε** [00033]
**ἐπίσταται** [00018]
**ἐποίησε** [00003]
**ἐποίησεν** [00084]
**ἐπτὰ** [00048]
**ἑπτὰ** [00048]
**ἔργα** [00079] [00080]
**ἐργάζεσθαι** [00049] [00065]
**ἐργάζεται** [00014]
**ἐργαζόμενοι** [00037]
**ἐργαζόμενος** [00052]
**ἐργασία** [00036]
**ἔργον** [00057] [00058] [00059] [00076] [00081]
**ἔργων** [00069]
**ἔρχονται** [00026]
**ἐσαββάτιζον** [00050]
**ἔσονται** [00033]
**ἑσπέρας** [00060] [00060]
**ἔσται** [00055] [00058] [00060]
**ἐστὶ** [00061] [00062] [00066]
**ἐστι** [00004] [00098] [00103] [00119] [00119]
**ἐστὶν** [00047]
**ἐστιν** [00003] [00008] [00046]
**ἐστρωμέναι** [00030]
**ἐσχάταις** [00024]
**ἔσχεν** [00009]
**ἐτε** [00073]
**ἑτέ** [00070]
**ετείλατο** [00068]
**ἑτέραν** [00007]
**ἑτέρας** [00006] [00027] [00086]
**ἐτήρουν** [00012]
**Εὐαγγελίῳ** [00075]
**ἔφανεν** [00086]
**ἔχει** [00013] [00052]
**ἔχετε** [00047]
**ἐχούσης** [00027]
**ἐχουσῶν** [00025]
**ἑωρακὼς** [00087]
**ἕως** [00005] [00005] [00014] [00060]

**ζει** [00064]
**ζήσωμεν** [00125]
**ζητεῖν** [00007] [00070]
**ζοντες** [00050]
**ζώντων** [00090]
**ζωοποιηθέντος** [00082]

**ἡ** [00009] [00013] [00015] [00023] [00036] [00036] [00038] [00047] [00058] [00061] [00061] [00062] [00062] [00071] [00092] [00097] [00102] [00103] [00104] [00105] [00105] [00106] [00108] [00114] [00119] [00119] [00121]
**ἢ** [00008] [00023] [00093]
**Ἡ** [00093] [00101] [00109]
**Ἢ** [00039]
**ἥ** [00071]
**Ἡγοῦμαι** [00110]
**Ἤθελε** [00070]
**ἦλθε** [00021]
**Ἦλθον** [00076]
**ἥλιος** [00086] [00089]
**ἡλίου** [00085]
**ἡμέρᾳ** [00003] [00012] [00031] [00034] [00057] [00058] [00069] [00091] [00117] [00127] [00128] [00128]
**ἡμέρα** [00055] [00084] [00090]
**ἡμέραι** [00026]
**ἡμέραις** [00003] [00024] [00048] [00083]
**ἡμέραν** [00004] [00015] [00064] [00072] [00083]
**ἡμέρας** [00053]
**ἡμερῶν** [00025]
**ΗΜΩΝ** [00001]
**ἣν** [00008] [00063] [00073] [00083] [00084] [00087] [00098] [00120] [00125]
**ἦν** [00005] [00071] [00081] [00092] [00097] [00101] [00114]
**ἠπίστατο** [00050]
**ἤργει** [00108]
**ἤρξατο** [00069] [00073]
**ἧς** [00009]
**ἦσαν** [00114]

**ἠτιᾶτο** [00047]
**ἥτις** [00058]

**θανάτου** [00128]
**θαρίζει** [00038]
**θέλω** [00046]
**θεογνωσίας** [00053]
**Θεόν** [00052]
**Θεὸς** [00011] [00021] [00029] [00068] [00069] [00085] [00120]
**Θεός** [00041]
**Θεοῦ** [00116]
**θῦμα** [00033]
**θυσίαι** [00114]
**θυσίαν** [00031] [00046]

**ἴδιον** [00047]
**Ἰδοὺ** [00026] [00088]
**Ἰεζεχιὴλ** [00041]
**Ἱερεμίας** [00025]
**Ἱεριχὼ** [00048]
**Ἱερουσαλὴμ** [00005]
**Ἰησοῦ** [00115] [00116] [00116] [00126]
**ἱλάσκονται** [00040]
**ιλασμοῦ** [00066]
**ἵν** [00098] [00113] [00121]
**ἵνα** [00016] [00018] [00019] [00079] [00120] [00125]
**Ἵνα** [00069]
**Ἰορδάνου** [00116]
**Ἰσραὴλ** [00002] [00003] [00034]
**Ἰωάννην** [00078]

**κα** [00038]
**καθ** [00008]
**καθαρὸν** [00033]
**καθόλου** [00121]
**καινὴ** [00009] [00010] [00015]
**καινῇ** [00017]
**κακίας** [00066]
**κατακριθὲν** [00113]
**κατάπαυσιν** [00067]
**καταπαύων** [00077]
**καταυγάζων** [00085]
**κατέ** [00003]
**κατέπαυσε** [00011] [00069] [00109]
**κατέπαυσεν** [00014] [00074]
**κατώρθωται** [00105]
**κελεύει** [00065]
**κελεύονται** [00048]
**κλητὴ** [00055]
**Κολοσσαεῖς** [00095]
**κτιζόμενος** [00007]
**κτιζομένου** [00006]
**κτίσει** [00017]
**κτίσεώς** [00103]
**κτίσεως** [00004] [00005] [00007] [00007] [00016] [00041] [00067] [00071] [00086] [00105]
**κτίσιν** [00011] [00083]
**κτίσις** [00009] [00010] [00013] [00015]
**Κύ** [00028]
**Κυριακὴ** [00071] [00103]
**Κυριακῇ** [00018] [00094]
**Κυριακὴν** [00019] [00072]
**Κύριον** [00007] [00050]
**Κύριος** [00003] [00008] [00026] [00042] [00045] [00053] [00054] [00069] [00084] [00116] [00120] [00126]
**Κυρίου** [00034]
**Κυρίῳ** [00033] [00056] [00090]

**λαβόντες** [00048]
**λαιοῦ** [00102]
**λαμβάνει** [00015]
**λαὸν** [00007] [00116]
**λαὸς** [00007]
**λαοῦ** [00006] [00058]
**λαῷ** [00016]
**λέγει** [00026] [00032]
**λεγόμενον** [00006]
**λέγον** [00083]
**λέγων** [00029] [00041] [00054] [00068]
**λει** [00053]
**λείωσε** [00073]
**Λευΐτας** [00035]
**Λευῗται** [00039]
**Λευῖται** [00037]
**Λευϊτικῷ** [00053]
**λεχθείη** [00127]
**λίβανον** [00033]
**λογίζωνται** [00120]
**Λόγος** [00075]
**λόγος** [00115]
**λος** [00009]
**λουτρὸν** [00101]
**λουτροῦ** [00125] [00125]

**μαθητὰς** [00045]
**μᾶλλον** [00044] [00053]
**μαρτυρεῖ** [00080]
**μέλεσιν** [00098]
**μέλλοντα** [00015]
**μελλόντων** [00114]
**μὲν** [00011] [00018] [00023] [00041] [00052] [00071] [00074] [00081] [00086] [00101] [00107]
**μέρος** [00113]
**μέρους** [00102] [00114] [00125]
**μέσον** [00042] [00042]
**μετ** [00057]
**μηκέτι** [00007] [00120] [00121] [00125]
**μηνὸς** [00055] [00060]
**μνεσθαι** [00091]
**μνήμην** [00072] [00072]

**μοι** [00079]
**μολύνει** [00036]
**μολύνονται** [00037]
**μόνοι** [00039]
**μου** [00024] [00042]
**Μωσῆν** [00054]

**Ναυῆ** [00115] [00116]
**νήσασα** [00104]
**νόμιμον** [00059]
**νόμον** [00048]
**νόμος** [00053] [00066] [00091]
**νόμου** [00053]
**νῦν** [00125] [00127]

**ὁ** [00007] [00008] [00009] [00011] [00021] [00025] [00028] [00029] [00029] [00030] [00041] [00042] [00045] [00053] [00053] [00068] [00069] [00075] [00079] [00081] [00084] [00087] [00091] [00094] [00095] [00107] [00115] [00120] [00120] [00121] [00123] [00125] [00126]
**Ὁ** [00020] [00077]
**ὀγδόῃ** [00091] [00105]
**ὀγδόη** [00106] [00109]
**ὀγδόην** [00106]
**Ὁδοὶ** [00030]
**ὅθεν** [00113]
**Ὅθεν** [00015]
**οἱ** [00002] [00012] [00023] [00037] [00039] [00048] [00098]
**ὀκταημέρου** [00051]
**ὅλην** [00125]
**ὀλίγα** [00057]
**ὀλίγων** [00032]
**ὁλοκαύτωμα** [00031]
**ὁλοκαυτώματα** [00056]
**ὁλοκαυτώσεως** [00031]
**ὅλου** [00113] [00114]
**Ὅλου** [00102]
**ομολόγησις** [00062]
**ὅμως** [00052] [00053] [00064]
**ὀνειδισμὸν** [00117] [00127] [00128] [00128]
**ὀνειδισμὸς** [00121] [00123]
**ὀνομά** [00064]
**ὄνομα** [00088] [00118]
**ὀνομάζει** [00065]
**ὀνομάζειν** [00053]
**ὄντων** [00121]
**ὅπερ** [00047]
**ὅσῳ** [00040]
**ὅτε** [00061] [00094]
**Ὅτε** [00021]
**ὅτι** [00003] [00042] [00047] [00050] [00069] [00098]
**Οὐ** [00063] [00067] [00073] [00090]
**οὐ** [00015] [00029] [00037] [00046] [00057] [00059] [00106]
**Οὐδὲ** [00062]
**οὐδὲ** [00014] [00015]
**οὐδὲν** [00093]
**οὐκ** [00013] [00017] [00023] [00035] [00038] [00041] [00043] [00047] [00050] [00066] [00086] [00108]
**Οὐκοῦν** [00023] [00041] [00061]
**οὖν** [00011] [00067] [00071] [00072]
**οὐρανὸν** [00003]
**οὖσα** [00109]
**οὖσαν** [00072] [00072] [00099]
**οὕτως** [00072] [00104] [00114] [00121] [00127]
**οὐχ** [00061] [00064]

**πα** [00102]
**πάθει** [00086]
**παλαιὰν** [00071] [00073]
**παλαιὸς** [00094]
**παλαιότητός** [00098]
**παλιγγενεσίας** [00101]
**πάλιν** [00021] [00032] [00088]
**Πᾶν** [00057] [00059]
**πάν** [00074]
**παντός** [00031]
**πάντων** [00077] [00090] [00092]
**παραπτώματος** [00123]
**παρελθούσης** [00019]
**πᾶσα** [00058]
**πάσης** [00066]
**Πατὴρ** [00079]
**ΠΑΤΡΟΣ** [00001]
**Παῦ** [00009]
**παύει** [00061] [00103]
**παῦλαν** [00041]
**Παῦλός** [00095]
**παυσε** [00003]
**πε** [00096] [00108]
**πέπαυται** [00100]
**πεπλήρωται** [00023]
**πέραν** [00116]
**ΠΕΡΙ** [00001]
**περὶ** [00009] [00020] [00035] [00048] [00080]
**περιετέμνετο** [00107]
**περιετμήθητε** [00096]
**περιτέ** [00091]
**περιτέμνειν** [00052]
**περιτεμνόμενοι** [00098]
**περιτεμνομένου** [00051]
**περιτέμνοντος** [00116]
**περιτομὴ** [00093] [00101] [00114] [00119] [00121]
**περιτομή** [00097]
**περιτομῇ** [00096]
**περιτομὴν** [00099] [00110] [00125]
**περιτομήν** [00104]
**ΠΕΡΙΤΟΜΗΣ** [00001]
**περιττὴ** [00102]
**Πιστεύσας** [00099]
**πλέον** [00127]
**πλημμελεῖν** [00040]
**πλήρωμα** [00021]
**Πνεῦμα** [00083]
**Πνεύματός** [00024]

**ποιεῖν** [00002] [00073]
**ποιῆσαι** [00069]
**ποιήσει** [00058]
**ποιήσετε** [00057] [00059]
**Ποιητοῦ** [00041]
**ποιῶ** [00080]
**ποιῶν** [00011]
**πολλῷ** [00127]
**πρὸ** [00032]
**προαναφωνεῖ** [00083]
**προδιδασκόμενοι** [00113]
**προηγουμένως** [00029] [00066]
**προκείμενα** [00033]
**πρὸς** [00047] [00054] [00067] [00095]
**προσάγειν** [00035]
**προσάγοντες** [00039]
**προσάξετε** [00031] [00056]
**προσετάχθησαν** [00113]
**πρόσταξιν** [00116]
**προστάττονται** [00049]
**προστάττων** [00030]
**προσφερόντων** [00040]
**προτεθήσεται** [00034]
**προτέραν** [00011]
**προτέρας** [00007] [00020] [00071] [00086]
**πρότερον** [00072]
**προτέρῳ** [00016]
**προτέρων** [00072]
**προτιθέναι** [00035]
**προτιθέντες** [00039]
**προφῆται** [00023]
**προφήτης** [00087]
**πρώτῃ** [00015]
**πρώτη** [00023]
**πρώτην** [00109] [00125]
**πρώτης** [00027]
**πρώτων** [00025]

**ρας** [00070]
**ριος** [00028]
**ριτομή** [00108]
**ριτομῇ** [00096]
**ρίῳ** [00086]

**Σάβ** [00064]
**Σάββα** [00106]
**Σαββά** [00031]
**σαββα** [00052]
**Σάββατά** [00042]
**Σάββατα** [00002] [00005] [00015] [00053] [00060] [00060] [00064]
**σαββατιεῖτε** [00060]
**σαββατίζομεν** [00015]
**Σαββάτοις** [00031]
**Σάββατον** [00012] [00016] [00017] [00028] [00029] [00041] [00043] [00048] [00049] [00061] [00062] [00065] [00066] [00067] [00071] [00103] [00106]
**Σαββάτου** [00047] [00048] [00072]
**Σαββάτῳ** [00039] [00047] [00052] [00063] [00063] [00065] [00107] [00108]
**ΣΑΒΒΑΤΩΝ** [00001]
**Σαββάτων** [00031] [00034] [00053]
**σαββάτων** [00015] [00060] [00064]
**σαλπί** [00050]
**σαλπίζειν** [00048]
**σαλπίζοντες** [00049]
**σαρκὸς** [00096]
**σεμιδάλεως** [00031]
**σημαίνει** [00041] [00077] [00115]
**σημαινόμενον** [00101]
**σημαινομένου** [00100]
**σημαίνουσα** [00092]
**σημαίνων** [00086]
**σημασία** [00102]
**Σημεῖόν** [00004]
**σημεῖόν** [00003]
**σημεῖον** [00042] [00098] [00099] [00100] [00101]
**σήμερον** [00117] [00127] [00128]
**σκιά** [00114]
**σκιᾷ** [00125]
**σκιαὶ** [00114]
**σοῦ** [00128]
**σπονδὴν** [00031]
**στάχυας** [00045]
**στερίσκονται** [00039]
**συμβαίνει** [00063]
**συνετελέσθη** [00074]
**συνηγέρθητε** [00096]
**συνταφέντες** [00096]
**συντελείᾳ** [00022]
**σφάζειν** [00035]
**σφάζοντες** [00039]
**σχέσεως** [00119]
**σχήματος** [00041]
**σῶμα** [00098] [00112]
**σώματος** [00096] [00113] [00113] [00125]
**σωτη** [00086]
**Σωτῆρος** [00086]

**Τὰ** [00079]
**τὰ** [00002] [00005] [00005] [00015] [00042] [00060] [00074] [00080]
**ταῖς** [00024]
**ταπεινοῦν** [00062]
**ταπεινώσετε** [00056] [00060]
**τὰς** [00002] [00053] [00056] [00059] [00060]
**ταύτῃ** [00057] [00058] [00069] [00128]
**ταύτην** [00065]
**ταύτης** [00004] [00018] [00041] [00070]
**τέκνα** [00120]
**τέλειον** [00082]
**τελειῶσαι** [00076]
**τελειώσω** [00079]
**Τέλος** [00025] [00027] [00071]
**τέλος** [00004] [00007] [00013] [00015] [00016] [00019] [00070] [00086]

**τέλους** [00072] [00077]
**τες** [00050]
**τετελείωται** [00023]
**Τῇ** [00017] [00034]
**τῇ** [00003] [00012] [00012] [00015] [00018] [00031] [00055] [00057] [00058] [00063] [00069] [00074] [00074] [00083] [00085] [00090] [00091] [00094] [00094] [00094] [00095] [00096] [00096] [00105] [00117] [00127] [00128] [00128]
**Τὴν** [00011]
**τὴν** [00003] [00004] [00007] [00016] [00018] [00018] [00019] [00019] [00044] [00047] [00048] [00053] [00053] [00062] [00064] [00067] [00067] [00071] [00072] [00072] [00073] [00083] [00086] [00092] [00092] [00093] [00099] [00104] [00106] [00109] [00110] [00113] [00125] [00125] [00125]
**τηρεῖν** [00007]
**Τῆς** [00097]
**τῆς** [00004] [00005] [00005] [00006] [00007] [00007] [00012] [00016] [00019] [00020] [00027] [00031] [00031] [00041] [00044] [00053] [00067] [00071] [00071] [00086] [00093] [00096] [00099] [00101] [00103] [00105] [00109] [00113] [00119] [00120] [00121] [00125] [00128] [00128]
**ΤΗΣ** [00001]
**τί** [00039] [00046] [00049]
**τι** [00113]
**τίζει** [00052]
**τίθησι** [00083]
**τίλλειν** [00045]
**τιμῶμεν** [00072]
**τινὰ** [00077]
**Τίς** [00008]
**τις** [00010] [00061]
**τὸ** [00004] [00006] [00007] [00012] [00016] [00016] [00019] [00021] [00028] [00029] [00033] [00041] [00043] [00047] [00048] [00049] [00061] [00062] [00062] [00066] [00067] [00067] [00070] [00071] [00076] [00081] [00083] [00098] [00100] [00101] [00101] [00103] [00106] [00106] [00112] [00113] [00113]
**τοίνυν** [00049]
**τοῖς** [00003] [00030] [00031] [00032] [00045] [00089] [00098]
**τὸν** [00003] [00007] [00007] [00021] [00048] [00050] [00052] [00064] [00094] [00096] [00104] [00116] [00117] [00127] [00128] [00128]
**τον** [00106]
**τόπου** [00118]
**τος** [00081]
**Τοσούτῳ** [00040]
**Τότε** [00125]
**τότε** [00005] [00124]
**ΤΟΥ** [00001]
**Τοῦ** [00111]
**τοῦ** [00004] [00006] [00021] [00024] [00029] [00039] [00040] [00041] [00041] [00042] [00042] [00047] [00048] [00049] [00051] [00053] [00055] [00055] [00058] [00060] [00072] [00072] [00081] [00083] [00086] [00096] [00096] [00097] [00099] [00100] [00102] [00102] [00105] [00113] [00113] [00113] [00114] [00115] [00116] [00116] [00116] [00118] [00123] [00124] [00125] [00125] [00125] [00128]
**τοὺς** [00029] [00035] [00045] [00070]
**τουτέστι** [00019]
**Τοῦτο** [00095] [00115] [00120] [00124]
**τοῦτο** [00012] [00014] [00016] [00019] [00028] [00045] [00048] [00074] [00083] [00086] [00091] [00100] [00106] [00110] [00113]
**τοῦτον** [00007]
**τούτου** [00055]
**Τούτων** [00121]
**τύπον** [00124]
**τύπος** [00097]
**τύρεται** [00041]
**τῷ** [00016] [00033] [00039] [00041] [00045] [00047] [00052] [00053] [00056] [00063] [00075] [00078] [00086] [00090] [00096] [00108] [00115] [00115] [00116] [00121] [00126]
**τῶν** [00022] [00025] [00031] [00034] [00034] [00040] [00053] [00053] [00061] [00069] [00072] [00090] [00114] [00121] [00127]
**των** [00031] [00074]

**υἱοὶ** [00002]
**υἱοῖς** [00003]
**Υἱὸν** [00021]
**υἱῷ** [00116]
**υἱῶν** [00034]
**ὑμῖν** [00055] [00060]
**Ὑμῖν** [00089]
**ὑμῶν** [00056] [00059] [00060] [00060] [00069] [00117] [00127]
**ὑπὲρ** [00040]
**ὑπεύθυνοι** [00121]

**φαίνεται** [00121]
**φανεροῦται** [00015]
**φανερῶς** [00115]
**Φησὶ** [00078]
**φησὶν** [00118]
**φησίν** [00020] [00025] [00075] [00087]
**φησιν** [00095]
**φθορᾶς** [00128]
**φοβουμένοις** [00089]
**φότερα** [00105]
**φυλάξουσιν** [00002]
**φυλάττειν** [00005] [00017] [00072]

**χάριν** [00018] [00053]
**χεῷ** [00024]
**χὴν** [00009]
**Χριστοῦ** [00096] [00124]
**Χριστῷ** [00010]
**χρόνου** [00021]

**ψαλμοῦ** [00083]
**ψυχὰς** [00056] [00060]
**ψυχὴ** [00058] [00058]
**ψυχῇ** [00085]
**ψυχήν** [00062]

**ᾧ** [00096] [00096]
**ὦμεν** [00121]
**ὧν** [00069] [00098]
**ὡρισμένως** [00063]
**ὡς** [00015] [00023] [00025] [00041] [00044] [00053] [00120] [00125]
**ὦσιν** [00120]
**ὥσπερ** [00051] [00103] [00113] [00114] [00125]
**Ὥσπερ** [00072] [00126]
**Ὥστε** [00010]